www.tezaurliturgic.ro

# ΠΑΡΑΚΛΗΣΙΣ
# ΚΑΙ
# ΧΑΙΡΕΤΙΣΜΟΙ
# ΤΟΥ
# ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ
# ΔΙΟΝΥΣΙΟΥ ΤΟΥ ΕΝ ΟΛΥΜΠΩ

ΙΕΡΑ ΜΟΝΗ ΟΣΙΟΥ ΔΙΟΝΥΣΙΟΥ

ΤΟΥ ΕΝ ΟΛΥΜΠΩ

www.tezaurliturgic.ro

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΕΙΣ ΤΟΝ ΟΣΙΟΝ ΚΑΙ ΘΕΟΦΟΡΟΝ ΠΑΤΕΡΑ ΗΜΩΝ ΔΙΟΝΥΣΙΟΝ ΤΟΝ ΕΝ ΟΛΥΜΠΩ

**Ποίημα Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου.**

**Εὐλογήσαντος τοῦ Ἱερέως, τὸ Κύριε εἰσάκουσον, μεθ᾽ ὃ τὸ Θεὸς Κύριος ὡς συνήθως καὶ τὸ ἑξῆς:**

**Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.**

Ὡς τῶν θαυμάτων κεκτημένος τὴν χάριν, πάσης ἀπάλλαξον ἀνάγκης καὶ βλάβης, τοὺς πίστει προσιόντας τῇ πρεσβείᾳ σου, Πάτερ Διονύσιε,

www.tezaurliturgic.ro



τῶν Ὁσίων λαμπρότης, ἄφεσιν αἰτούμενος, καὶ παθῶν θεραπείαν, καὶ πειρασμῶν δεινῶν ἀπαλλαγήν, τοῖς σὲ προστάτην, θερμὸν ἐπιγράφουσι.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Οὐ σιωπήσομεν ποτέ Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι· εἰμὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; τὶς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους; οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ· σοὺς γὰρ δούλους σῴζεις ἀεὶ ἐκ παντοίων δεινῶν.

**Ὁ Ν΄. καὶ ὁ κανὼν οὗ ἡ ἀκροστιχίς:**
**«Διονύσιε ἰσχύν μοι δίδου. Γερασίμου».**

**Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.**

Δοχεῖον τοῦ Πνεύματος ἐκλεκτόν, δέχου τὰς δεήσεις, Διονύσιε ἱερέ, τῶν πίστει καὶ πόθῳ προσιόντων, τῇ πρὸς Χριστὸν ἱκεσίᾳ σου πάντοτε.



Ἰάσεις πηγάζων παντοδαπάς, ψυχῶν καὶ σωμάτων, θεραπεύεις πάθη δεινά· διὸ με κατ᾽ ἄμφω ἀσθενοῦντα, θαυματουργὲ Διονύσιε ἴασαι.

Ὀδύνης ἀπάλλαξον ψυχικῆς, τοὺς τῇ σῇ πρεσβείᾳ, καταφεύγοντας εὐλαβῶς, καὶ σώματος ἴασαι τὴν νόσον, τῶν σὲ τιμώντων σοφὲ Διονύσιε.

**Θεοτοκίον.**

Νοός μου τὸ σκότος τὸ χαλεπόν, διάλυσον Κόρη, τῷ φωτί σου τῷ νοερῷ, καὶ δίδου μετάνοιαν γνησίαν, τῷ ταπεινῷ σου ἱκέτῃ Πανάμωμε.

**Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.**

Ὑπερήφανον ὄφιν, τὸν καθ᾽ ἡμῶν πάντοτε, δόλους καὶ παγίδας ὑ-

www.tezaurliturgic.ro



πούλως, μηχανευόμενον, σύντριψον Ἅγιε, καὶ πρὸς ὁδὸν σωτηρίας, Πάτερ Διονύσιε, ἡμᾶς κατεύθυνον.

Σὲ προστάτην καὶ ρύστην, καὶ ἀρωγὸν ἔχοντες, πάσης συμφορᾶς καὶ ἀνάγκης, θᾶττον ῥυσθείημεν, αὕτη ἡ Μάνδρα σου, καὶ οἱ θερμῶς σε τιμῶντες, Πάτερ Διονύσιε, ταῖς ἱκεσίαις σου.

Ιατὴρ παθημάτων, πολυειδῶν πέφηνας· ὅθεν τοὺς προστρέχοντας Πάτερ, τῇ ἀντιλήψει σου, ῥύου ἑκάστοτε, νόσων καὶ πάσης ἀνάγκης, καὶ ποικίλων θλίψεων καὶ περιστάσεων.

**Θεοτοκίον.**

Εξ ἀχράντου γαστρός σου, σωματωθεὶς γέγονεν, ἄνθρωπος δι' ἔλεος μέγα, ὁ Ὑπερούσιος, σώζων Πανύμνητε, τοὺς ἀληθῆ Θεοτόκον, πίστει σε δοξάζοντας, καὶ μεγαλύνοντας.



Διάσωσον θαυματουργὲ Διονύσιε θεοφόρε, πάσης βλάβης καὶ πειρασμῶν ταῖς πρεσβείαις σου, τοὺς ἀδιστάκτῳ καρδίᾳ σοι προσιόντας.

Επίβλεψον ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

**Αἴτησις καὶ τὸ Κάθισμα.**
**Ἦχος β΄. Πρεσβεία θερμή.**

Προστάτης θερμός, καὶ μέγα καταφύγιον, ὑπάρχεις ἡμῶν, παμμάκαρ Διονύσιε· διὸ πιστῶς βοῶμέν σοι· ἀπὸ πάσης ἀνάγκης ἀπάλλαττε, τὴν εὐαγῆ καὶ σεπτήν σου Μονήν, καὶ πάντας τοὺς σπεύδοντας τῇ σκέπῃ σου.

**Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.**

Ιλασμὸν ἡμῖν αἴτησαι, καὶ πλημμελημάτων τὴν ἀπολύτρωσιν,

www.tezaurliturgic.ro



Διονύσιε μακάριε, οἷα κηδεμὼν ἡμῶν καὶ ἔφορος.

Συντριβέντα τοῖς πάθεσι, ἴασαί με Πάτερ ὡς συμπαθέστατος, καὶ τὸν νοῦν μου τάχος λύτρωσαι, ἐξ αἰχμαλωσίας τῆς τοῦ χείρονος.

Χαλεπῶν περιστάσεων, καὶ δυσχερειῶν σοφὲ Διονύσιε, ἀνωτέρους διαφύλαττε, τοὺς τῇ σῇ πρεσβείᾳ καταφεύγοντας.

**Θεοτοκίον.**

Υπερύμνητε Δέσποινα, τὴν κεκακωμένην ψυχήν μου πάθεσι, θεραπείας καταξίωσον, οἷα τοῦ Χριστοῦ Μήτηρ φιλάγαθος.

**Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.**

Νέκρωσον σοφέ, τοῦ ἐχθροῦ πᾶσάν ἐπήρειαν, καὶ ἀτάραχον καὶ



ἤρεμον ἡμῶν, Διονύσιε τὸν βίον διατήρησον.

Μέγας ἀρωγός, τῆς Μονῆς σου πέλων Ὅσιε, ἐκ μεγάλων συμφορῶν ῥύου αὐτήν, τῇ θερμῇ σου προστασίᾳ καταφεύγουσαν.

Ορμον γαληνόν, τὴν πρεσβείαν σου οἱ Πίερες, κεκτημένοι Διονύσιε σοφέ, χαλεπῶν τρικυμιῶν τοῦ βίου ῥύονται.

**Θεοτοκίον.**

Ιδε συμπαθῶς, τῆς ψυχῆς μου τὴν ἀσθένειαν, καὶ θεράπευσον τὸ ἄλγος μου Ἁγνή, καὶ τὸ σκότος τοῦ νοός μου ἐξαφάνισον.

**Ὠδὴ στ΄. Τὴν δέησιν.**

Δυνάμει, τῶν πρεσβειῶν σου παμμάκαρ, πᾶσα νόσος καὶ ἀνάγκη

www.tezaurliturgic.ro



καὶ λύμη, ὦ Διονύσιε οἴχεται τάχος, καὶ Πιερία κηρύττει τὴν χάριν σου, καὶ χαριστήριον ᾠδήν, εὐγνωμόνως προσᾴδει σοι Ἅγιε.

Ἰδού σοι, ἡ σὴ Μονὴ καταφεύγει, καὶ προσπίπτει καὶ βοᾷ ἐκ καρδίας· Μὴ διαλίπῃς ἀεὶ προστατεύειν, ὡς ποιμενάρχης ἡμῶν συμπαθέστατος, ταύτης τῆς Μάνδρας σου σοφέ, Διονύσιε Πάτερ δεόμεθα.

Δεινῶν με, ἐπιφορῶν ῥῦσαι Πάτερ, τὸν πρὸς σὲ ἀπὸ ψυχῆς ἀφορῶντα, καὶ τοὺς πιστῶς τῇ ἁγίᾳ Μονῇ σου, ἁπανταχόθεν προστρέχοντες πάντοτε, ἀπάλλαττε παντὸς κακοῦ, Διονύσιε Πάτερ δεόμεθα.

**Θεοτοκίον.**

Ὁ πάντων, Δημιουργὸς καὶ Δεσπότης, σαρκωθεὶς ἐκ τῶν ἁ-



γνῶν σου αἱμάτων, σὲ προστασίαν ἀνέδειξεν κόσμου, καὶ πεπτωκότων ἀνόρθωσιν Δέσποινα· διὸ ἀνόρθωσον κἀμέ, πεπτωκότα βυθῷ παραπτώσεων.

Διάσωσον θαυματουργὲ Διονύσιε θεοφόρε, πάσης βλάβης καὶ πειρασμῶν ταῖς πρεσβείαις σου, τοὺς ἀδιστάκτῳ καρδίᾳ σοι προσιόντας.

Ἄχραντε, ἡ διὰ λόγου....

**Αἴτησις καὶ τὸ Κοντάκιον.**

**Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου ῥείθροις.**

Ὡς τῶν Ὁσίων τῶν πάλαι ὁμότροπος, καὶ κοινωνὸς τῆς εὐκλείας καὶ σύσκηνος, σὺν αὐτοῖς καθικέτευε Ὅσιε, ἡμῖν διδόναι πταισμάτων συγχώρησιν, καὶ λύσιν παθῶν Διονύσιε.

**Προκείμενον.**

**Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ**

www.tezaurliturgic.ro



**῾Οσίου αὐτοῦ.**

**Στίχ. Μακάριος ἀνήρ ὁ φοβούμενος...**

**Εὐαγγέλιον κατὰ Ματθαῖον.**

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου· καὶ οὐδεὶς ἐπιγινώσκει τὸν Υἱόν, εἰ μὴ ὁ Πατήρ· οὐδὲ τὸν Πατέρα τις ἐπιγινώσκει, εἰμὴ ὁ Υἱός, καὶ ᾧ ἐὰν βούληται ὁ Υἱὸς ἀποκαλύψαι. Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. Ἄρατε τὸν ζυγόν μου ἐφ᾽ ὑμᾶς, καὶ μάθετε ἀπ᾽ ἐμοῦ ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ· καὶ εὑρήσεται ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. ῾Ο γὰρ ζυγός μου χρηστός, καὶ τὸ φορτίον μου ἐλαφρὸν ἐστί.

**Δόξα. Ταῖς τοῦ σοῦ ῾Οσίου...**

**Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...**

**Προσόμοιον. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.**



**Στίχ: Ἐλέησόν με ὁ Θεός...**

Αἴγλη θείου Πνεύματος, καταλαμπόμενος Πάτερ, λῦσον τῶν παθῶν ἡμῶν, τὴν δεινὴν σκοτόμαιναν Διονύσιε, καὶ πρὸς φῶς ἴθυνον, θείων ἐνταλμάτων, φωτοφόροις ἱκεσίαις σου, τοὺς καταφευγόντας, τῇ σῇ προστασίᾳ ἑκάστοτε, δυσχερειῶν καὶ θλίψεων, καὶ ἀσθενειῶν καὶ κακώσεων, ἡμᾶς ἀπαλλάττων, καὶ πάσης τοῦ ἐχθροῦ ἐπιβουλῆς, τοὺς σὲ προστάτην καὶ ἔφορον, ἐκ Θεοῦ πλουτήσαντας.

**῾Ο ῾Ιερεὺς: Σῶσον ὁ Θεός τὸν λαὸν σου...**

**Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.**

Υπέρ πάντων δυσώπει, Διονύσιε Πάτερ τῶν εὐφημούντών σε, καὶ πίστει προσκυνούντων, τὰ θεῖα λείψανά σου, καὶ βοώντων ἑκάστοτε· ῾Ο τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

www.tezaurliturgic.ro



Γεωργήσας τοῖς πόνοις, ἀπαθείας τὴν χάριν τὴν πολυΰμνητον, παθῶν ἐξ ἀκαθάρτων, ἐκκάθαρον τοῖς ῥείθροις, Διονύσιε Ὅσιε, τῶν σῶν σεπτῶν πρεσβειῶν, τοὺς σὲ ὑμνολογοῦντας.

Ἐν τῇ σῇ προστασίᾳ, ἡ ἁγία Μονή σου καυχᾶται Ὅσιε, καὶ πᾶσα Πιερία, θερμῶς σοι καταφεύγει, καὶ βοᾷ μετά πίστεως· Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

**Θεοτοκίον.**

Ῥῶσιν δίδου μοι Κόρη, καὶ παθῶν πολυτρόπων τὴν ἀπολύτρωσιν· πρὸς σὲ γὰρ καταφεύγω, ὑμνῶν σε Θεοτόκε, καὶ βοῶ ἀγαλλόμενος· χαῖρε Παρθένε Ἁγνή, βροτῶν ἡ σωτηρία.

**Ὠδὴ η΄. Τὸν Βασιλέα.**

Ἀρρωστημάτων, σβέσον τὴν ἄσπετον φλόγα, Διονύσιε τῶν πί-



στει ἐκζητούντων, τὴν σὴν θερμοτάτην, ἐν πᾶσι προστασίαν.

Σθένος παράσχου, τῇ ταλαιπώρῳ ψυχῇ μου, Διονύσιε ὡς ἂν ὑπερνικήσῃ, τὰς ἐπερχομένας, ἐν βίῳ δυσχερείας.

Ἴασιν δίδου, καὶ τὴν κατ' ἄμφω ὑγείαν, Διονύσιε τοῖς πίστει προσιοῦσι, τοῖς θαυματοβρύτοις, καὶ θείοις σου λειψάνοις.

**Θεοτοκίον.**

Μῆτερ Κυρίου, καὶ Ἀειπάρθενε Κόρη, πόρρω δίωξον ἐκ τῆς ἐμῆς καρδίας, τὰς τοῦ βροτοκτόνου, ἐπιβουλὰς καὶ δόλους.

**Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.**

Ὀλύμπου ὁ προστάτης, καὶ τῆς Πιερίας, ὁ φωτοφόρος ἀστήρ Διονύσιε, τὰς ἱκεσίας προσδέχου ἡμῶν ἑκάστοτε.

www.tezaurliturgic.ro



Υφέρποντα ὑπούλως, κατ᾽ ἐμοῦ τὸν ὄφιν, τῇ δεδομένῃ σοι χάριτι σύντριψον, ὦ Διονύσιε Πάτερ ἵνα γεραίρω σε.

Υψίστου ὡς θεράπων, πρέσβευε ἀπαύστως, ὑπὲρ ἡμῶν ἱερὲ Διονύσιε, ἵνα ῥυώμεθα πάσης ἐναντιότητος.

**Θεοτοκίον.**

Υμνοῦμέν σου τὸ μέγα, μυστήριον Κόρη· ὅτι Θεὸν ἀπορρήτως γεγέννηκας, καὶ μετὰ τόκον Παρθένος ἄφθορος ἔμεινας.

**Τὸ Ἄξιον ἐστὶ καὶ τὰ μεγαλυνάρια.**

Χαίροις Θεσσαλίας θεῖος βλαστός, καὶ Ὀλύμπου κλέος, Διονύσιε θαυμαστέ· χαίροις Ἐκκλησίας φωστὴρ ὁ νέος μάκαρ, ὁ πάντας καταυγάζων, θαυμάτων λάμψεσι.



Ολος ἐκ νεότητος τῷ Χριστῷ, πίστει ἀνετέθης, ὡς ἐμάκρυνας τῶν φθαρτῶν, καὶ τῆς ἐγκρατείας, ὑπῆλθες τοὺς ἀγῶνας, ἀτρέπτῳ διανοίᾳ, ὦ Διονύσιε.

Αγγελος καθάπερ ἐπὶ τῆς γῆς, ἤνυσας θεόφρον, τὴν ζωήν σου τὴν θαυμαστήν, καὶ πολλῶν χαρίτων, θεόθεν ἠξιώθης, ἡμᾶς καταπυρσεύων, ὦ Διονύσιε.

Τὸν τῆς μετανοίας καθηγητήν, καὶ τὸν ἐν Ὀλύμπῳ ποδηγέτην καὶ οἰκιστήν, τὸν θεῖον προστάτην καὶ λειτουργὸν Κυρίου, Διονύσιον τὸν μέγα πάντες ὑμνήσωμεν.

Γνόφον ὑπεισῆλθες τὸν μυστικόν, ὡς ἀνῆλθες Πάτερ, ἐν Ὀλύμπω πίστει θερμῇ, καὶ ὑπερκοσμίου, φωτὸς κατηξιώθης, ὡς τῶν ἀρρήτων μύστης, ὦ Διονύσιε.

www.tezaurliturgic.ro



Ως ἥλιος λάμψας ἐν τῷ χορῷ, τῶν ἁγίων πάντων Διονύσιε ἀσκητά, πρέσβευε ἀπαύστως ὑπὲρ ἡμῶν τῶν πόθῳ, ἀεὶ ἀνευφημούντων καὶ δεομένων σου.

Φρούρει τὴν Μονήν σου τὴν ἱερὰν, ἀπὸ πάσης βλάβης, Διονύσιε θαυμαστέ, καὶ τῶν προσιόντων, αὐτῇ μετ' εὐλαβείας, τὰς ἱκεσίας πλήρου, ὡς συμπαθέστατος.

Ιλεως γενοῦ μοι Πάτερ σοφέ, τῷ πολεμουμένῳ, σώματί τε καὶ τῇ ψυχῇ, δεινοῖς παντοίων νόσων καὶ πάσης ἀλγηδόνος, καὶ ῥῦσαί με γεέννης ταῖς μεσιτείαις σου.

Οδήγησον Πάτερ εἰς οὐρανόν, τοὺς νῦν προσκυνοῦντας, τὴν ἁγίαν σου Δεξιάν, τὴν θείαν σου Κάραν, σεπτήν τε Σιαγόνα, καὶ τούτων τὰ μεγάλα ἀνακηρύττοντας.



Ολυμπε ὑπέρτατε τῶν βουνῶν, χαῖρε καὶ εὐφραίνου, κεκτημένος σὺ βοηθόν, ῥύστην καὶ προστάτην ἐν τοῖς πειρατηρίοις, τὸν θεῖον καὶ ὑπέρλαμπρον Διονύσιον.

Χαίροις Πιερίας ὁ ἀρωγός, καὶ μεσίτης μέγας, Διονύσιε πρὸς Θεόν· χαίροις ὁ παρέχων, ἰάσεις τοῖς νοσοῦσι, καὶ θαύματα πηγάζων, ἡμῖν ἑκάστοτε.

Πᾶσαι τῶν Ἀγγέλων....

**Τὸ τρισάγιον, τὰ συνήθη τροπάρια, ἐκτενὴς καὶ ἀπόλυσις, μεθ' ἣν ψάλλομεν τὸ ἑξῆς:**

**Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.**

Πάντας τοὺς προσπίπτοντας πιστῶς, τῇ σῇ θαυμαστῇ προστασίᾳ, καὶ ἀντιλήψει σου, Πάτερ Διονύσιε ἀξιοθαύμαστε, πάσης θλίψεως λύτρωσαι, καὶ πάσης ἀνάγκης, καὶ πάσης στενώ-

www.tezaurliturgic.ro



σεως, καὶ νόσου Ἅγιε, αἴτει δὲ πταισμάτων τὴν λύσιν, καὶ τὴν θεϊκὴν εὐφροσύνην, τοῖς εἰλικρινῶς σε μακαρίζουσι.

**Δίστιχον.**

**Πλήρου Διονύσιε τὰς ἱκεσίας**
**Ἅς σοι Γεράσιμος θερμῶς ἀναφέρει.**




## ΟΙΚΟΙ ΕΙΚΟΣΙΤΕΣΣΑΡΕΣ ΕΙΣ ΤΟΝ ΟΣΙΟΝ ΚΑΙ ΘΕΟΦΟΡΟΝ ΠΑΤΕΡΑ ΗΜΩΝ ΔΙΟΝΥΣΙΟΝ ΤΟΝ ΕΝ ΟΛΥΜΠΩ

**ΥΠΟ ΜΟΝΑΧΟΥ ΓΕΡΑΣΙΜΟΥ ΜΙΚΡΑΓΙΑΝΝΑΝΙΤΟΥ**

**Κοντάκιον. Ἦχος πλ. δ´ Τῇ ὑπερμάχῳ.**

Ὡς τῶν Ὁσίων κοινωνὸν καὶ ἰσοστάσιον, καὶ τοῦ Ὀλύμπου οἰκιστὴν καὶ στῦλον πάμφωτον, ἀνυμνοῦμεν ἐν πίστει σε θεοφόρε. Ἀλλ᾽ ὡς χάριτος τῆς θείας ἐνδιαίτημα, νοσημάτων καὶ παθῶν δεινῶν ἀπάλλαξον, τοὺς βοῶντας σοι· Χαίροις πάτερ Διονύσιε.

www.tezaurliturgic.ro



## Οἱ Οἶκοι.

Ἄνθρωπος οὐρανόφρων, ἀνεδείχθης ἐν κόσμῳ, Πατέρων Διονύσιε κλέος (ἐκ γ΄), καὶ τῇ σῇ οὐρανίῳ ζωῇ, τῶν Ἀσωμάτων συνόμιλος πέφηνας, μεθ' ὧν δυσώπει πάντοτε, ὑπὲρ τῶν σοὶ ἐκτενῶς βοώντων·

Χαῖρε, δι' οὗ ἡ Τριὰς ὑμνεῖται· χαῖρε, δι' οὗ ὁ Σατὰν πατεῖται.

Χαῖρε, τῆς Σκλαταίνης βλαστὸς εὐθαλέστατος· χαῖρε, τοῦ Ὀλύμπου ἀστὴρ τηλαυγέστατος.

Χαῖρε, σέλας τὸ νεόφωτον Ἐκκλησίας τῆς σεπτῆς· χαῖρε, γέρας τὸ νεότευκτον πολιτείας τῆς καινῆς.

Χαῖρε, ὅτι ἐδείχθης μιμητὴς τῶν Ὁσίων· χαῖρε, ὅτι ἐφάνης ἐραστὴς οὐρανίων.

Χαῖρε, κλυτὸν τοῦ Ἄθω ὡράϊσμα· χαῖρε, σεπτὸν Ὀλύμπου διάδημα.



Χαῖρε, δι' οὗ μονασταὶ ὁδηγοῦνται· χαῖρε, δι' οὗ εὐσεβεῖς κραταιοῦνται.

**Χαίροις, πάτερ Διονύσιε.**

Βλέποντες οἱ γονεῖς σου, ἄνωθεν τοῦ σοῦ λίκνου, ἐκλάμπον τοῦ Σταυροῦ τὸ σημεῖον, μεμύηνται προοιμιακῶς, τὴν ἐσύστερον τοῦ βίου σου ἔλλαμψιν· Χριστῷ γάρ, Διονύσιε, ἠγάπησας θερμῶς κραυγάζειν·

**Ἀλληλούϊα.**

Γνώσει τῇ τῶν κρειττόνων, θεοφρόνως προκόπτων, συνηύξησαι Κυρίου τῷ φόβῳ, ἐν ᾧ διαιτώμενος σεμνῶς, τὴν ἀρετὴν ἐκ νεότητος ἔστερξας, δι' ἧς ῥυθμίζεις, Ὅσιε τοὺς ἐκβοῶντάς σοι τοιαῦτα·

Χαῖρε, Χριστοῦ τὴν δόξαν ποθήσας· χαῖρε, φθαρτῶν τὴν σχέσιν μισήσας.

Χαῖρε, ὁ νοήσας ψυχῆς τὴν εὐγέ-

www.tezaurliturgic.ro



νειαν· χαῖρε, ὁ τηρήσας νοὸς τὴν εὐπρέπειαν.

Χαῖρε, ἔμψυχον γεώργιον ἐπιπνοίας θεϊκῆς· χαῖρε, φάσγανον ἀμφίστομον προσπαθείας ὑλικῆς.

Χαῖρε, ὅτι Κυρίῳ ἀκλινῶς ἐκολλήθης· χαῖρε, ὅτι τοῦ κόσμου ὁλικῶς ἐχωρίσθης.

Χαῖρε, ἠθῶν ἐνθέων διάγραμμα· χαῖρε, σεμνῶν τοκέων ἀνάστημα.

Χαῖρε, ζωῆς ἰχνηλάτα ἀλήκτου· χαῖρε, τρυφῆς μυστολέκτα ἀρρήτου.

**Χαίροις, πάτερ Διονύσιε.**

Δύναμιν καὶ σοφίαν, ἐκ μελέτης ἁγίας, λαμβάνων τῶν ἐνθέων ῥημάτων, θεόφρων ὤφθης ἀπὸ παιδός, θεοειδέσιν ἀρχαῖς σεμνυνόμενος, ἐκπλήττων τοὺς ὁρῶντάς σε, καὶ ψάλλων θερμῶς τῷ Σωτῆρι·

**Ἀλληλούϊα.**



Ἔδραμες θείῳ πόθῳ, τῷ καλοῦντί σε Λόγῳ, βαστάζων τὸν σταυρόν σου θεόφρον· καὶ ἐν Μετεώροις ἀνελθών, τῷ πρὸς Θεὸν μετάρσιος φρονήματι, ὡράθης Διονύσιε, καὶ φαιδρύνεις τοὺς βοῶντάς σοι·

Χαῖρε, πυκτὶς ἀγάπης τοῦ Λόγου· χαῖρε, πρηστὴρ ἀπάτης τοῦ κόσμου.

Χαῖρε, ὁ βαδίσας Ὁσίων τοῖς ἴχνεσι· χαῖρε, ὁ ἐκλάμψας ποικίλοις χαρίσμασι.

Χαῖρε, σύμμορφος ἀσκήσεως ἀσκητῶν θεοειδῶν· χαῖρε, μέτοχος θεώσεως θεοφόρων εὐκλεῶν.

Χαῖρε, ὅτι ἀνῆλθες Μετεώρων εἰς ὕψος· χαῖρε, ὅτι ὑψώθης τῷ Κυρίῳ ὁσίως.

Χαῖρε, κλεινῶν Πατέρων ἐφάμιλλος· χαῖρε, Θεοῦ θεράπων ἰσάγγελος.

Χαῖρε, εἰκὼν θεϊκῶν χαρισμάτων· χαῖρε, ἐχθρῶν ὀλετὴρ ἐναντίων.

**Χαίροις, πάτερ Διονύσιε.**

www.tezaurliturgic.ro



Ζέων τῇ προθυμίᾳ, τῷ σεπτῷ πατρὶ Σάββᾳ, σαὐτὸν καθυποτάξας ἐμφρόνως, ὑπέταξες ἐχθροῦ τὰς ὁρμὰς, καὶ τῷ θεϊκῷ ἐπτερώθης ἔρωτι, τῶν κάτω ἀφιστάμενος, καὶ ἔνθους τῷ Σωτῆρι ψάλλων·

**Ἀλληλούϊα.**

Ἧκες σπουδῇ καὶ πίστει, πρὸς τὸ Ὄρος τοῦ Ἄθω, ὡς ἔλαφος ὠκύδρομος χαίρων, καὶ τῷ θυηπόλῳ Σεραφείμ, ὁλοτρόπως καὶ σαφῶς σαὐτὸν δέδωκας, ὑφ' οὗ παιδοτριβούμενος, ἐῤῥύθμιζες τοὺς σοὶ βοῶντας·

Χαῖρε, ὁ ἄνθραξ τῆς ἐμμελείας· χαῖρε, τὸ βέλος τῆς ῥαθυμίας.

Χαῖρε, λαμπηδὼν ἱερῶν ἀναβάσεων· χαῖρε, μυητὰ σωτηρίων καθάρσεων.

Χαῖρε, ὕψος θείου ἔρωτος ἀνυψοῦν εἰς οὐρανόν· χαῖρε, βάθος ταπεινώσεως ταπεινοῦν τὸν πονηρόν.



Χαῖρε, ὅτι ῥυθμίζεις μοναστῶν τὰς ἐννοίας· χαῖρε, ὅτι λαμπρύνεις εὐσεβῶν τὰς καρδίας.

Χαῖρε, Χριστοῦ ἐρῶν ἐκ νεότητος· χαῖρε, παθῶν τῶν τούτου συνόμιλος.

Χαῖρε, καλῶν θεοσδότων μεθέκτα· χαῖρε, παθῶν ψυχοφθόρων ὀλέτα.

**Χαίροις, πάτερ Διονύσιε.**

Θεϊκῇ προμηθείᾳ, ἱερεὺς θεοφόρος, καὶ θεῖος λειτουργὸς τῶν ἀρρήτων, ὤφθης, Διονύσιε σοφέ, ὡς καθαρώτατον σκεῦος τοῦ Πνεύματος, Θεῷ δὲ ὥσπερ ἄγγελος ἱερούργεις, ᾧ καὶ ἐβόας·

**Ἀλληλούϊα.**

Ἴδον οἱ ἐν τῷ Ἄθῳ τῆς ζωῆς σου τὸν τρόπον, καὶ βίον τὸν οὐράνιον ὄντως, καὶ τῶν σῶν τρυφήσαντες καρπῶν, τῶν ἀρετῶν σου τὸν πλοῦτον ἠ-

www.tezaurliturgic.ro



γάσθησαν, δι' ὧν πλουτίζεις ἅπαντας, τοὺς ἐκβοῶντάς σοι τοιαῦτα·

Χαῖρε, ὁ τύπος τῆς ἐγκρατείας· χαῖρε, ὁ λύχνος τῆς ἡσυχίας.

Χαῖρε, θιασῶτα Πατέρων τῶν πρόπαλαι· χαῖρε, καθαιρέτα τοῦ πλάνου στερρότατε.

Χαῖρε, στόμα τὸ ἀσίγητον οὐρανίων προσευχῶν· χαῖρε, ὄμμα τὸ ἀνύστακτον μυστικῶν θεωριῶν.

Χαῖρε, τῆς ἀκτησίας ἡ πολύολβος κτῆσις· χαῖρε, τῆς θεουργίας ἡ θεότιμος δεῖξις.

Χαῖρε, λαμπρὸν πρᾳότητος σκήνωμα· χαῖρε, σεπτὸν τῆς χάριτος τίμημα.

Χαῖρε, τρυφὴ νοητὴ νηστευόντων· χαῖρε, ἀλκὴ τῶν ἀεί ἐκβοώντων.

**Χαίροις, πάτερ Διονύσιε.**

Καθαρότητι γνώμης, τῆς Σιὼν ὡς ἐπέστης, Κυρίου τὸν ζωήρυτον



τάφον, ἀφάτῳ προσκυνήσας χαρᾷ, συνετάφης εὐσεβῶς τῷ φρονήματι, τῷ τὸν Ἀδὰμ ἐγείραντι, καὶ σὲ δοξάσαντι βοῶντα·

**Ἀλληλούϊα.**

Λάμπων ταῖς λαμπηδόσιν, ὡς λαμπτὴρ σελασφόρος, τῶν σῶν θεοφιλῶν Πάτερ ἔργων, σοφὸς τῆς Φιλοθέου Μονῆς, παιδευτὴς καὶ ῥυθμιστὴς ἐχρημάτισας· διὸ τῇ ἡγεσίᾳ σου, ἀγαλλομένη ἐκβοᾷ σοι·

Χαῖρε, ποιμὴν λογικῶν θρεμμάτων· χαῖρε, σοφὲ παιδευτὰ ἀτάκτων.

Χαῖρε, κυβερνῆτα ἡμῶν περιδέξιε· χαῖρε, οἰκονόμε τοῦ Πνεύματος ἔνθεε.

Χαῖρε, θύτης ὁ μακάριος μυστηρίων τῶν φρικτῶν· χαῖρε, μύστης ὁ θεόληπτος τῶν ὁσίων ἀρετῶν.

Χαῖρε, τῆς Θεαρχίας θεοφόρος θεράπων· χαῖρε, τῆς θεαυγείας τῆς ἀΰλου θεάμων.

www.tezaurliturgic.ro



Χαῖρε, πολλῶν ἀφρόνων σωφρόνημα· χαῖρε, ψυχῶν σωφρόνων ὑπόδειγμα.

Χαῖρε, θεσμῶν ζωηφόρων ταμεῖον· χαῖρε, κρουνὸς θεοβρύτων λογίων.

**Χαίροις, πάτερ Διονύσιε.**

Μέτοχος θείας δόξης, γεγονὼς ἐν τῷ Ἄθῳ, κατέλαβες τὴν Σκήτην Βερροίας, ἐν ᾗ ὑπογραμμὸς ἀρετῶν, τοῖς ἐκεῖσε ἀσκουμένοις ἐνδέδειξαι· πρὸς μίμησιν γὰρ ἅπαντας εἷλκες, τοὺς νουνεχῶς βοῶντας·

**Ἀλληλούϊα.**

Νέος ὥσπερ Ἠλίας, ἐν Ὀλύμπῳ ἀνῆλθες, καὶ τοῦτον ὡς Χωρὴβ κατοικήσας, τῶν κατ' ἐκεῖνον θεωριῶν, θεοφανῶς κατηξίωσαι Ὅσιε· Θεὸς γάρ σε ἐδόξασεν, ὁ δοξάζων τοὺς σοὶ βοῶντας·

Χαῖρε, ἐπόπτα τῆς θείας δόξης·



χαῖρε, τῶν κρείττω ὁ μυστοδότης.

Χαῖρε, Ἠλιοὺ τοῦ Θεσβίτου ὁμότροπε· χαῖρε, Ἀντωνίου τοῦ πάνυ ὁμόζηλε.

Χαῖρε, ἄγαλμα ἐξαίρετον τῆς μονήρους βιοτῆς· χαῖρε, ἔσοπτρον νεόσμηκτον τῆς ἀγγελικῆς ζωῆς.

Χαῖρε, ὅτι Ἀγγέλων ἐμφανείας κατεῖδες· χαῖρε, ὅτι ῥεόντων τὰς ἐπόψεις παρεῖδες.

Χαῖρε, πηγὴ δακρύων πολύρρυτος· χαῖρε, κανὼν νηστείας εὐθύτατος.

Χαῖρε, δι' οὗ ὁ λῃστὴς μετεβλήθη· χαῖρε, δι' οὗ τῷ Σωτῆρι προσήχθη.

**Χαίροις, πάτερ Διονύσιε.**

Ξένον θαῦμα εἰργάσω, ἐν θαλάσσῃ θεόφρον, τῇ ξένῃ πρὸς Χριστὸν προσευχῇ σου· τὸν γὰρ σάλον αὐτῆς τὸν δεινόν, εἰς γαλήνην παραδόξως μετέβαλες· καὶ πρὸς λιμένα ἄκλυστον, ἰ-

www.tezaurliturgic.ro



θύνεις τοὺς Θεῷ βοῶντας:

**Ἀλληλούϊα.**

Ὄλυμπος ἐγκαυχᾶται, εὐαγέσι σου πόνοις, λαμπρῶς ἁγιασθεὶς θεοφόρε· τοῦτο γὰρ τὸ ὄρος ἐπιβάς, τοὺς κάτω κειμένους πρὸς Θεὸν ὕψωσας, ὑψώσεσι τοῦ βίου σου, ἀναβοῶντάς σοι ἐκ πόθου·

Χαῖρε, Ὀλύμπου στερρὸς πολίτης· χαῖρε, Κυρίου λαμπρὸς ὁπλίτης.

Χαῖρε, ὑψηλῆς πολιτείας κυπάρισσος· χαῖρε, χθαμαλῆς διανοίας ὑπέρτερος.

Χαῖρε, ὕψος ὅτι ἔφθασας τῆς ἀγάπης τοῦ Θεοῦ· χαῖρε, κράτος ὅτι ἔλυσας τῆς ἀπάτης τοῦ ἐχθροῦ.

Χαῖρε, ὅτι ἐκλάμπεις πρακτικῇ θεωρίᾳ· χαῖρε, ὅτι ἀστράπτεις ἀρετῶν συντονίᾳ.

Χαῖρε, λαμπρᾶς ἀσκήσεως στέλεχος· χαῖρε, πολλῶν ῥαθύμων ὁ ἔλεγχος.

Χαῖρε, βαλβὶς ἀσκητῶν πρὸς ἀγῶνας· χαῖρε, Θεῷ ὁδηγῶν τοὺς βοῶντας.

**Χαίροις, πάτερ Διονύσιε.**



Πράξεσιν ἐναρέτοις, ναὸς ἔμψυχος ὤφθης, Τριάδος τῆς Ἁγίας θεόφρον· διὸ ταύτῃ Ναὸν εὐαγῆ, καὶ ἱερὸν Σεμνεῖον ᾠκοδόμησας, πολλῶν εἰς περιποίησιν, τῶν πίστει αἱρουμένων ψάλλειν·

**Ἀλληλούϊα.**

Ῥήμασί σου ἐνθέοις, δαψιλῶς διατρέφεις, τὰ στίφη τῶν σεμνῶν φοιτητῶν σου, καὶ τούτους ἄνδρας τῆς ἐν Χριστῷ, πνευματικῆς ἡλικίας ἀνέδειξας· διὸ ἐπαγαλλόμενοι, σοὶ τῷ πατρὶ ἡμῶν βοῶμεν·

Χαῖρε, ἡγέτα τῶν φοιτητῶν σου· χαῖρε, προστάτα τῶν ὑμνῳδῶν σου.

www.tezaurliturgic.ro



Χαῖρε, κηδεμὼν τῶν υἱῶν σου καὶ πρόμαχε· χαῖρε, ἀρωγὲ τῆς Μονῆς σου καὶ πρόβολε.

Χαῖρε, κρήνη ἡ βλυστάνουσα ῥεῖθρα ἰαματικά· χαῖρε, θήκη ἡ παρέχουσα φάρμακα τὰ σωστικά.

Χαῖρε, ὅτι ῥυθμίζεις τὴν τοῦ ἄρχοντος γνώμην· χαῖρε, ὅτι ἐκλύεις τὴν τοῦ δράκοντος ῥώμην.

Χαῖρε, πολλῶν πασχόντων ὑγίανσις· χαῖρε, θερμὴ πταιόντων ἐξίλασις.

Χαῖρε, μορφὴ ἱλαρότητος πλήρης· χαῖρε, Θεοῦ ἀγαθότητος βλύσις.

**Χαίροις, πάτερ Διονύσιε.**

Σκέπην σε καὶ προστάτην, καὶ θερμὸν προμηθέα, Ὀλύμπου οἱ περίοικοι πάντες, πλουτοῦντες προνοίᾳ θεϊκῇ, τῇ ἀντιλήψει σου ἀεὶ προστρέχομεν, ὡς ἂν πάσης στενώσεως, ῥυσθείημεν Πάτερ βοῶντες·

**Ἀλληλούϊα.**



Τίμιος ὄντως ὤφθη, ὁ σὸς θάνατος μάκαρ, ἐνώπιον Χριστοῦ τοῦ Σωτῆρος· αὐτὸν γὰρ προϊδὼν ἀληθῶς, τὰ κατὰ σὲ εὐπρεπῶς διηυθέτησας, καὶ πρὸς Χριστὸν ἀνέδραμες, ἐκβοώντων τῶν φοιτητῶν σου·

Χαῖρε, συνέστιος Ἀσωμάτων· χαῖρε, ἀλάβαστρον χαρισμάτων.

Χαῖρε, θεωρὲ τῆς τοῦ Λόγου τερπνότητος· χαῖρε, κοινωνὲ τῆς ἀδύτου φαιδρότητος.

Χαῖρε, σύναυλε καὶ σύσκηνε τῶν ὁσίων Ἀσκητῶν· χαῖρε, σύμψηφε καὶ σύνοικε τῶν ἁγίων λειτουργῶν.

Χαῖρε, ὅτι ἐδέξω ἰαμάτων τὴν χάριν· χαῖρε, ὅτι κοιμίζεις παθημάτων τὴν ζάλην.

Χαῖρε, χοροῦ Ὁσίων συνάριθμε· χαῖρε, τῶν σῶν προσφύγων ὑπέρμαχε.

Χαῖρε, σεπτοῦ σου Σεμνείου κοσμῆτορ· χαῖρε, λαοῦ σου πιστοῦ ἀντι-

www.tezaurliturgic.ro



λῆπτορ.

**Χαίροις, πάτερ Διονύσιε.**

Ὕδωρ ζῶν ἰαμάτων, ἐνεργείᾳ ἀΰλῳ πηγάζει ὡς κρουνὸς συμπαθείας, ἡ Κάρα σου Πάτερ ἡ σεπτή, καὶ παθημάτων καθαίρει τοὺς μώλωπας, τὰς νόσους ἀπελαύνουσα, καὶ ἰωμένη τοὺς βοῶντας·

**Ἀλληλούϊα.**

Φύλαξ σωτηριώδης, καὶ ἔφορος καὶ ἐπόπτης, γενοῦ τῇ θεολέκτῳ σου Μάνδρᾳ, τῶν δὲ τιμώντων σε εὐλαβῶς, τὰ αἰτήματα ἀεὶ πλήρου, Ὅσιε· ἰδοὺ γὰρ τῇ πρεσβείᾳ σου, προστρέχομεν πάντες βοῶντες·

Χαῖρε, ἡ δόξα τῶν μοναζόντων· χαῖρε, τὸ κλέος τῶν Ὀρθοδόξων.

Χαῖρε, πρεσβευτὰ πρὸς Θεὸν ἡμῶν ἕτοιμε· χαῖρε, βραβευτὰ τῶν κρειττόνων καὶ πάροχε.



Χαῖρε, γνώστης καὶ προάγγελος ἐσομένων ἀκριβής· χαῖρε, δότης θείας χάριτος τῶν αἰτούντων δαψιλής.

Χαῖρε, ὅτι παιδεύεις τὴν πανάσεμνον κόρην· χαῖρε, ὅτι προλέγεις τῶν μελλόντων τὴν γνῶσιν.

Χαῖρε, κυλλῶν ταχεῖα ἀνάρρωσις· χαῖρε, κυρτῶν ὀξεῖα ἀνόρθωσις.

Χαῖρε, παθῶν ἀκαθάρτων διῶκτα· χαῖρε, φρουρὲ τῶν βοώντων καὶ ῥύστα.

**Χαίροις, πάτερ Διονύσιε.**

Χάριτος ἐντρυφῶντες, τῶν πολλῶν σου θαυμάτων, οἱ σπεύδοντες τῇ σκέπῃ σου Πάτερ, δοξάζομεν τὸν πάντων Θεόν, τὸν διὰ σοῦ ἡμᾶς περιέποντα· ᾧ καὶ προσάγεις ἅπαντας, Διονύσιε, τοὺς βοῶντας·

**Ἀλληλούϊα.**

Ψάλλων ἐν τοῖς ὑψίστοις, τῇ Ἁγίᾳ Τριάδι, τὸν ὕμνον σὺν Ὁ-

www.tezaurliturgic.ro



σίοις Πατράσιν, ἐπίνευσον ἡμῖν συμπαθῶς, τὰς οἰκτρὰς φωνὰς ἡμῶν προσδεχόμενος· ἀεὶ γὰρ ἀφορῶμέν σοι, παμμακάριστε ἐκβοῶντες·

Χαῖρε, Τριάδος ὁ παραστάτης· χαῖρε, τῶν τέκνων σου ὁ προστάτης·

Χαῖρε, συναυλίας τῆς ὧδε ὁ ἔξαρχος· χαῖρε, θυμηδίας τῆς θείας ὁ ἔμπλεως.

Χαῖρε, σθένος καὶ ὑπόδειγμα μοναζόντων εὐλαβῶν· χαῖρε, εὖχος καὶ κραταίωμα εὐσεβῶν Χριστιανῶν.

Χαῖρε, τῆς Ἐκκλησίας νεοστήρικτος βάσις· χαῖρε, τῆς Πιερίας θεοφώτιστος φαῦσις.

Χαῖρε, δι' οὗ παθῶν ἰαθήσομαι· χαῖρε, δι' οὗ δεινῶν λυτρωθήσομαι.

Χαῖρε, τρυφὴ τῶν παρόντων μου στίχων· χαῖρε, χαρὰ τῶν πιστῶν σου προσφύγων.

**Χαίροις, πάτερ Διονύσιε.**



Ω θεσπέσιε Πάτερ, ἱερέων ἀκρότης, καὶ πάντων τῶν Ὁσίων προσθήκη (ἐκ γ΄), καθάπερ δῶρα χηριακά, τὴν παροῦσαν ὑμνῳδίαν ἡμῶν πρόσδεξαι, καὶ ἐσαεὶ περίεπε, τοὺς συμφώνως Θεῷ βοῶντας·

**Ἀλληλούϊα.**

**Καὶ αὖθις τὸ Κοντάκιον.**
**Ἦχος πλ. δ΄ Τῇ ὑπερμάχῳ.**

Ως τῶν Ὁσίων κοινωνὸν καὶ ἰσοστάσιον, καὶ τοῦ Ὀλύμπου οἰκιστὴν καὶ στῦλον πάμφωτον, ἀνυμνοῦμεν ἐν πίστει σε θεοφόρε. Ἀλλ' ὡς χάριτος τῆς θείας ἐνδιαίτημα, νοσημάτων καὶ παθῶν δεινῶν ἀπάλλαξον, τοὺς βοῶντάς σοι· Χαίροις, πάτερ Διονύσιε.

**Ἀπόλυσις.**